www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**Δρος Χαραλάμπους Μ. Μπούσια**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# Κ Ο Σ Μ Α
## ΕΠΙΣΚΟΠΟΥ ΜΑΪΟΥΜΑ
## ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

Ἀθῆναι 2009

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# Κ Ο Σ Μ Α

## ΕΠΙΣΚΟΠΟΥ ΜΑΪΟΥΜΑ

## ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΔ΄ Ὀκτωβρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

************************************************************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α΄. Πανεύφημοι μάρτυρες.**

Κοσμᾶ, ὁ Τριάδος τῆς σεπτῆς
αἴγλῃ ἐλλαμπόμενος,
φωστὴρ τοῦ πνεύματος πάμφωτε,
καὶ ἀμαρύγμασιν
ὕμνων σου παντέρπνων
καταυγάζων σύλλογον
πιστῶν Θεὸν αἰνούντων ἀείποτε,
ἡμῶν διάλυσον
τῆς χαμαιζηλίας ζόφωσιν
καὶ τὸ σκότος
παθῶν τὸ ψυχόλεθρον.

Κοσμᾶ, τοῦ σεπτοῦ Δαμασκηνοῦ,
Ἰωάννου, σύνοικε
καὶ ἀσκητὰ Λαύρας, Ὅσιε,
Σάββα τοῦ ἔμφρονος,
Ἁγιοπολίτης
ὁ ὀνομαζόμενος
καὶ πέλων κληρονόμος θειότατος
τῆς ἄνω πόλεως,

Ἐκκλησίας στῦλος πέφηνας
καὶ χειμάῤῥους
χαρίτων πολύῤῥυτος.

Κοσμᾶ μελῳδέ, Μαϊουμᾶ
Ἱεράρχα ἔνθεε,
ὁ μυηθεὶς τὰ ἀπόῤῥητα
καὶ εἰς τοῦ Πνεύματος
ὁ εἰσδὺς  τὸν γνόφον,
ᾄσματα συνέθεσας
μελίῤῥυτα καὶ τὴν καλλιέπειαν,
πάτερ θειότατε,
μουσικὴν σὺ διεσάφησας,
ὁ πρεσβεύων
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοσμᾶ, θείου Πνεύματος πυρσέ,
ἀστραπαῖς τῶν ὕμνων σου
τῶν ἱερῶν κατεφώτισας
κόσμου τὰ σύμπαντα
ὡς συνδεδεμένος
τῇ πηγῇ, μακάριε,
φωτὸς τοῦ ἀϊδίου, τῷ Κτίσαντι
Χριστῷ, φωτόλαμπρος
ὅλος γέγονας καὶ χάριτος
θείας πάσας
ἀκτῖνας ἐξήστραπτες.

**Δόξα. Ἦχος β΄.**

Τὸν θετὸν ἀδελφὸν Δαμασκηνοῦ Ἰωάννου,
τὸν αὐτῷ ἁμιλλώμενον τῇ συγγραφῇ ὕμνων
καὶ ἀναβάσει τῆς τῶν ἀρετῶν κλίμακος,
Κοσμᾶν τὸν Ἁγιοπολίτην, τιμήσωμεν εὐσχημόνως
καὶ αὐτῷ ἐκ μέσης καρδίας εἴπωμεν·
Ὁ οὐρανοπολίτης γενόμενος
καὶ τοῦ ἀδελφοῦ σου ἰσότιμος τῇ δόξῃ,
μὴ παύσῃ σὺν αὐτῷ Χριστὸν ἱλεούμενος
τοῖς σὲ ἐν ὕμνοις τερπνοῖς μακαρίζουσι.

**Καὶ νῦν. Θεοτοκίον.** Τὴν πᾶσαν ἐλπίδα μου...

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαίροις, σεπτὲ Κοσμᾶ,
λαμπρὲ ᾀσματογράφε
Χριστοῦ τῆς Ἐκκλησίας,
οὗ τὴν γραφίδα χάρις
τοῦ Πνεύματος ἐκίνησεν.

**Στίχος.** Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαῖρε, Μαϊουμᾶ
ὁ θεῖος Ἱεράρχης,
Κοσμᾶ πνευματοφόρε,
ὁ ἐπὶ σὲ ἑλκύσας
ἀφθόνως Πνεῦμα Ἅγιον.

**Στίχος.** Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.

Χαῖρε, ὁ ἀσκητὴς
τῆς Λαύρας θείου Σάββα
καὶ ποιητὴς ᾀσμάτων
μελισταγῶν κσὶ ὕμνων,
Κοσμᾶ πνευματοφόρητε.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
ὁ τὸν Κοσμᾶν φωτίσας
συγγράψαι θείους ὕμνους,
Πάτερ, Υἱὲ καὶ Πνεῦμα,
Τριὰς λαμπρὰ καὶ πάνσεπτε.

**Καὶ νῦν. Θεοτοκίον.**

Φώτισον τὰς ὁδοὺς
ἐζοφωμένων δούλων
τῆς χάριτός σου, Μῆτερ
Θεοῦ τοῦ Φωτοδότου,
Κυρία Μητροπάρθενε.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

*********************************************************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσιν.**

Ἀσκητὴν ὁσιώτατον,
Ἱεράρχην θειότατον,
Πνεύματος Ἁγίου κατοικητήριον,
ᾀσματογράφον θεόπνευστον,
ἰσάγγελον ἄνθρωπον,
τὸν θετὸν Δαμασκηνοῦ
ἀδελφὸν καὶ ὁμόζηλον
εὐφημήσωμεν
ἀρετῆς ὡς ἀσύλητον ταμεῖον
καὶ σοφίας ἐκμαγεῖον,
Κοσμᾶν, Πατέρων ὑπόδειγμα.

Μελουργὸν καὶ θεόφθογγον
θείου Πνεύματος ὄργανον,
δαψιλῶς θεόθεν λαβόντα χάρισμα
τῆς συγγραφῆς ὕμνων μέλψωμεν
Κοσμᾶν τὸν ἀοίδιμον,
Λαύρας Σάββα τοῦ σεπτοῦ
ἀσκητὴν ἐνθεώτατον
καὶ ἐπίσκοπον
θεοφόρον Μαϊουμᾶ ἐκθύμως
ὡς κιθάραν μελιῤῥύτων
ᾠδῶν Χριστοῦ θείας πίστεως.

Τὸ γλυκαῖνον ψαλτήριον
ἀκοὰς τοῦ πληρώματος
καὶ τὰς διανοίας Χριστοῦ τῆς πίστεως
τῆς Ἐκκλησίας τιμήσωμεν,
Κοσμᾶν χαριτόβρυτον,
τὸν αὐλὸν ποιμενικὸν
ὄρη, ἄλση καὶ φάραγγας
καθηδύναντα
μελῳδίαις αὐτοῦ παναρμονίοις,

πνευματέμφορον ὡς ἄνδρα
καὶ θεοκίνητον κάλαμον.

Ὑφηγήτορα πάνσοφον
διδαγμάτων τῆς πίστεως,
σαρκοφόρον Ἄγγελον παμφαέστατον,
Κοσμᾶν, σεπτὸν Ἀρχιποίμενα
προβάτων ὑμνήσωμεν
λογικῶν Μαϊουμᾶ,
ποιμασίας ὡς σάλπιγγα
καλλικέλαδον
καὶ λυχνίαν ἐν σκότει καθημένους
καταλάμπουσαν ἀκτῖσι
παμφαεστάταις χρηστότητος.

Ἐκκλησίας ἑδραίωμα
ἀῤῥαγὲς καὶ κρηπίδωμα
εὐσεβείας, πάτερ Κοσμᾶ, πανεύφημε,
χειμάῤῥους ὥσπερ χρυσόῤῥειθρος
ἀρούρας κατήρδευσας
εὐσεβῶν Χριστιανῶν
ποιημάτων σου νάμασι
καὶ ᾀσμάτων σου
ὀχετοῖς πολυῤῥύτοις, ὑμνογράφε
πνευματέμφορε, αὐχμώσας
ψυχὰς δροσίζων ἀείποτε.

Τρισηλίου Θεότητος
ἐλλαμφθεὶς τὴν διάνοιαν
αἴγλη εἰς τὸν γνόφον εἰσέδυς Πνεύματος
τοῦ Παρακλήτου, μακάριε
Κοσμᾶ, καὶ ἀπόῤῥητα
ἐμυήθης τοῦ Θεοῦ,
ἃ λαμπραῖς σου κατέγραψας,
πάτερ Ὅσιε,
ὑμνῳδίαις ψυχὰς πιστῶν ἑλκούσαις
πρὸς ἐπάλξεις οὐρανίαις
καὶ λαμπροφόροις σκηνώμασι.

**Δόξα. Ἦχος πλ. β΄.**

Δεῦτε πιστοὶ τὸν μελῳδὸν Κοσμᾶν εὐφημήσωμεν,
ὡς ὀξυγράφον γραμματέως κάλαμον διατυπώσαντα

Δεσποτικοὺς καὶ Θεομητορικοὺς Κανόνας μελιῤῥύτους,
δι’ ὧν εὐφραίνονται εἰς τοὺς αἰῶνας Ὀρθοδόξων οἱ δῆμοι
καὶ αὐτῷ ἐν κατανύξει βοήσωμεν·
Θεόσοφον στόμα θείας γνώσεως
καὶ γραφὶς θεοκίνητος ἱερῶν ᾀσμάτων,
Μαϊουμᾶ Ἐπίσκοπε, ἀναδέδειξαι,
ὁ πρεσβεύων Χριστῷ ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ζ΄ 29 -36)**

Τέκνον, ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν Κύριον καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε. Ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς. Φοβοῦ τὸν ἱερέα καὶ δῷς τὴν μερίδα αὐτῷ, καθὼς ἐντέταλταί σοι, ἀπαρχὴν καὶ περὶ πλημμελείας καὶ δόσιν βραχιόνων καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχὴν ἁγίων. Καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σου, ἵνα τελειωθῇ ἡ εὐλογία σου. Χάρις δόματος ἔναντι παντὸς ζῶντος καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν. Μὴ ὑστέρει ἀπὸ κλαιόντων καὶ μετὰ πενθούντων πένθησον. Μὴ ὄκνει ἐπισκέπτεσθαι ἄῤῥωστον, ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ. Ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

**Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. μγ΄ 9 - 14)**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαντοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, κἀγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ’ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, κἀγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός· ὅτι ἀπ’ ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
### Ἰδιόμελα.

**Ἦχος α΄.**

Δεῦτε πιστοὶ τὸν κατακοσμήσαντα τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν
κάλλει τῶν ὕμνων καὶ λαμπρότητι ᾀσμάτων,
δι’ ὧν τὰς καρδίας τῶν εὐσεβῶν κατευφραίνει,
ἐφυμνίοις καταστέψωμεν καὶ οὕτως εἴπωμεν·
Οἶκε τοῦ Παντουργοῦ Πνεύματος
καὶ σάλπιγξ θεόπνευστε τῆς τοῦ Θεοῦ σοφίας καὶ γνώσεως,
ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον
ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Ἔρωτι τρωθεὶς θείῳ σὺν τῷ θετῷ ἀδελφῷ σου, Ἰωάννη,
Δαμασκὸν κατέλιπες καὶ ἀγγελικὴν ὑπῆλθες πολιτείαν
ἐν τῇ Λαύρᾳ τοῦ Ὁσίου Σάββα, Κοσμᾶ πανιερώτατε·
ὡς φοῖνιξ γὰρ ὑψίκομος ἀρετῆς καὶ σοφίας
καρποὺς ἐξήνεγκας γλυκυτάτους ἀπαθείας καὶ νήψεως,
δι’ ὧν ἔθρεψας τὴν λαχοῦσάν σοι τοῦ Μαϊουμᾶ ποίμνην τὴν ἔλλογον·
καὶ νῦν τῶν σῶν ὕμνων τῷ πλούτῳ
εὐφραίνεις πιστῶν τὰς διανοίας καὶ ἡδύνεις ἀκοὰς εὐσεβούντων
ἐν ᾠδαῖς πνευματικαῖς ψαλλόντων· Κύριε, δόξα Σοι.

**Ἦχος γ΄.**

Ὡς ῥεῖθρον διειδὲς τοῦ Παναγίου Πνεύματος
ἐδρόσισας πιστῶν τὰς καρδίας νάμασι σῶν ποιημάτων,
Κοσμᾶ, μελῳδὲ ἱερώτατε·
ὅθεν ὡς ἐνδιαίτημα χάριτος σὲ καθ' ἑκάστην μεγαλύνοντες
καὶ ὡς λύραν θεόφθογγον τῶν τοῦ Θεοῦ μεγαλείων γεραίροντες
τὰς ἀδιαλείπτους σου εὐχὰς ἐξαιτούμεθα
πρὸ ἀρετῆς ὁλοκλήρωσιν καὶ θέωσιν.

**Ἦχος δ΄.**

Χαίρει ἡ τοῦ Χριστοῦ Ἐκκλησία,
ἣν ἐφαίδρυνας ἐνθεαστικώτατα ὕμνοις σου θεοπνεύστοις,
τῇ σῇ σεβασμίᾳ μνήμῃ, Κοσμᾶ παναοίδιμε·
αὐτῆς οὖν καὶ ἡμεῖς ὡς μέλη εὐπειθέστατα ἀγαλλόμενοι
τοὺς καμάτους σου πρὸς θέωσιν μεγαλύνομεν
καὶ Χριστὸν δοξάζομεν τὸν παρέχοντα ἡμῖν εὐχαῖς σου
τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Δόξα. Ὁ αὐτός.**

Τὴν θεόπνευστον λύραν τῶν ἱερῶν ποιημάτων
καὶ ἅρπαν εὔηχον τῆς εὐσεβείας,
Κοσμᾶν τὸν Ἁγιοπολίτην, ἐν ᾠδαῖς εὐφημήσωμεν·
οὗτος γὰρ ἡδύνας ἀκοὰς καὶ διανοίας τῶν Χριστωνύμων
μυσταγωγεῖ πρὸς θειοτέραν γνῶσιν αὐτῶν τὰ συστήματα·
ἀγαλλόμενοι οὖν πάντες οἱ φιλακόλουθοι,
οἱ τιμῶντες αὐτοῦ μνήμην τὴν ἀεισέβαστον
Χριστὸν δοξάζομεν τὸν παρέχοντα ἡμῖν αὐτοῦ ἱκεσίαις
τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ ἱερὸς ὑμνῳδός,
ὁ ποιητὴς τῆς Ἐκκλησίας ὁ πάνσεπτος,
τὸ στόμα τῆς εὐσεβείας,
ἡ ἅρπα ἡ μελουργὸς
τῆς Θεοῦ σοφίας
καὶ χρηστότητος,

ἡ γλῶσσα τοῦ Πνεύματος
τοῦ Ἁγίου ἡ πάνσεπτος,
τῆς οὐρανίου
ἐπιπνοίας τὸ ὄργανον,
τὸ ἡδύφθογγον
τῶν δογμάτων ψαλτήριον·
Πάτερ πανιερώτατε,
Κοσμᾶ, ἐφαλτήριον
καλῶν ἀγώνων καὶ λύχνε
φωτολαμπὲς ἀγαθότητος,
Χριστὸν ἐκδυσώπει
παρασχεῖν τοῖς σὲ τιμῶσι
τὸ μέγα ἔλεος.

**Στίχος.** Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Χ**αίροις, ὁ Ἱεράρχης Χριστοῦ,
Μαϊουμᾶ ὁ ἀρχιθύτης ὁ Ὅσιος,
τῆς Λαύρας Ἁγίου Σάββα
ὁ ἀσκητὴς ὁ σεπτός,
ταπεινοφροσύνης
ἐγκαλλώπισμα,
συνέσεως μάργαρον,
προσευχῆς ἐργαστήριον,
νηστείας βάθρον,
ἀπαθείας κειμήλιον
καὶ ἀπαύγασμα
ἱερῶν ἀναβάσεων·
ὅθεν τὴν θείαν μνήμην σου,
Κοσμᾶ ἐνθεώτατε,
ἐπιτελοῦντες ἐν ὕμνοις
μελισταγέσιν καὶ ᾄσμασι
τὰς σὰς ἱκεσίας
ἐκδεχόμεθα πρὸς Κτίστην
τὸν πολυεύσπλαγχνον.

**Στίχος.** Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.

**Μ**νήμην ἐπιτελοῦντες, Κοσμᾶ
πνευματοφόρε, τὴν σεπτήν σου καὶ πάμφωτον
οἱ δῆμοι τῶν Χριστωνύμων

σὴν ἀκραιφνῆ ἀγωγὴν
ἐγκωμίων ῥόδοις
καταστέφομεν
καὶ πόθῳ βοῶμέν σοι·
Ὑμνογράφε θεόπνευστε,
τῆς Ἐκκλησίας
ἀδιάσειστον στήριγμα
καὶ θειότατε
ὑποφῆτα τῆς χάριτος,
μέμνησο τῶν τιμώντων σε
καὶ πίστει ὑμνούντων σου
τὴν πανσεβάσμιον μνήμην
μελισταγέσιν ἐν ᾄσμασι,
σοφὲ Ἱεράρχα
καὶ τερπνὲ ᾀσματογράφε
Χριστοῦ τῆς πίστεως.

**Δόξα. Ἦχος πλ. δ΄.**

Δεῦτε πάντες τὸν κατακοσμήσαντα κάλλει μελιχρῶν ᾀσμάτων
καὶ λαμπρότητι τεθηγμένων ὕμνων Χριστοῦ τὴν Ἐκκλησίαν,
Κοσμᾶν τὸν ἀοίδιμον, ἐπαινέσωμεν οὕτω λέγοντες·
Ὁ εὐφράνας πιστῶν τὰς καρδίας σοῖς ποιήμασιν,
ὁδήγει τοὺς σὲ μακαρίζοντας πρὸς ἐπίγνωσιν καὶ μετάνοιαν
καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς τῶν τιμώντων
τὴν λαμπρὰν καὶ ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν.....

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης**

Τὸ θεόφθογγον στόμα καὶ αὐλὸν τὸν γλυκύλαλον,
τὴν πνευματοφόρον κινύραν καὶ τὸ εὔηχον ὄργανον
τιμήσωμεν συμφώνως οἱ πιστοί,
Κοσμᾶν τὸν μελουργὸν καὶ ποιητήν,
τὸ τῆς χάριτος δοχεῖον
τὸ τιμαλφὲς καὶ πίστει ἐκβοήσωμεν·
Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα τῷ σὲ στεφανώσαντι,
δόξα τῷ ἐμπιμπλῶντι εὐσεβεῖς
πνεύματι ζέοντι.

**῞Ετερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Μελουργὸν εὐσεβείας κιθάραν μέλψωμεν
τῶν Ὀρθοδόξων δογμάτων
καὶ δωρεῶν θεϊκῶν
πλήκτρῳ ὄργανον κρουόμενον τοῦ Πνεύματος,
ᾀσματογράφον νῦν Κοσμᾶν,
Ἱεράρχην ἀσκητὴν
τὸν Ὅσιον εὐσχημόνως
βοῶντες· Ἄνοιξον στόμα
ἡμῶν ὑμνεῖν Θεόν, ἀοίδιμε.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος....
**Ἀπόλυσις.**

************************************************************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν Τάφον Σου, Σωτήρ.**

Τῆς χάριτος φωτὶ
αὐγασθείς, θεοφόρε,
διάνοιαν, Κοσμᾶ,
ἄστρον ὤφθης φωσφόρον
Χριστοῦ θείας πίστεως
καὶ φωστὴρ θεαυγέστατος
ἀναδέδειξαι
φωτίζων ἅπαντα κόσμον
σοῖς ποιήμασι
καὶ ἱεραῖς ὑμνῳδίαις,
θεόσοφε Ὅσιε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Πιστῶν καταφυγὴ
ἐν δεινοῖς καὶ κινδύνοις,
Παρθένε ἀγαθή,
προστασία ἑτοίμη
τῶν ἐν περιστάσεσι
καὶ ἀνάγκαις προσφύγων σου,
διασκέδασον

ἡμῶν παθῶν σκοτομήνην
ἀμαρύγμασι
φιλανθρωπίας σου, Μῆτερ
σεπτὴ ὑμνηπόλων σου.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἡμῖν ἐξανέτειλεν
ὥσπερ ἀστὴρ ὀρθρινὸς
ἡ πάνσεπτος μνήμη σου,
πνευματοφόρε Κοσμᾶ,
φωτίζουσα ἅπαντας
ὕμνων μελῳδικῶν σου
ἀστραπαῖς καὶ ᾀσμάτων
μελισταγῶν ἀκτῖσιν,
ἱερὲ ὑμνογράφε,
ποιμὴν Μαϊουμᾶ ἐκλεκτὲ
καὶ θεοπρόβλητε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Θεὸν σωματώσασα
ὑπερφυῶς, ἀγαθή,
ἐθέωσας φύραμα
βροτῶν, ἁγνὴ Μαριάμ,
τὸ νῦν μεγαλῦνόν σε
κλεῖδα ὡς Παραδείσου
δι’ ἡμᾶς κεκλεισμένου,
ἄχραντε Θεοτόκε,
σωτηρίας αἰτία
πιστῶν δοξολογούντων ἀεὶ
Τόκον τὸν θεῖόν σου.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Ἐν ταπεινότητι καὶ ὁσιότητι
βίον ἰσάγγελον ὑπῆλθες, πάνσοφε
Ἀρχιερεῦ Μαϊουμᾶ, ἐν Λαύρᾳ Ὁσίου Σάββα,
θεῖον ἐνδιαίτημα καὶ σεπτὸν θείου Πνεύματος,
ὁ συνθέσας ᾄσματα ἱερὰ καὶ μελίρρυτα
καὶ πάντας διεγείρας κραυγάζειν· Χαῖρε, πνευματοφόρε Πάτερ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ι΄ 9 -16 ).**
**Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου.**

**Ὁ Ν΄ Ψαλμός.**
**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,..
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὸν κτησάμενον τὴν θύραθεν παιδείαν
καὶ γεγονότα ἐραστὴν τῆς οὐρανίου γνώσεως,
Κοσμᾶν, τὸν θετὸν αὐτάδελφον
καὶ ὁμόζηλον τοῦ Δαμασκηνοῦ Ἰωάννου,
μελῳδικῶς ἀνυμνήσωμεν κράζοντες·
Ὁ βίου λαμπρότητι καὶ ᾀσμάτων φαιδρότητι
καταγλαΐσας Χριστοῦ τὴν Ἐκκλησίαν,
ἀδιαλείπτως πρέσβευε ὑπὲρ τῶν τιμώντων
τὴν λαμπρὰν καὶ ἀεισέβαστον μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ Ἀκροστιχίς·**
**«Κοσμᾶν ὑμνογράφον ὑμνῶ Ἁγιοπολίτην. Χ.»**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Κοσμᾶν, σεπτὸν Μαϊουμᾶ κοσμήτορα,
ᾀσματογράφον λαμπρόν,
ποιητὴν θεόπνουν,
ἀσκητὴν πανόσιον

καὶ στῦλον θείας πίστεως
ἀῤῥαγῆ εὐσχημόνως,
εἰ καὶ ἀχρεῖος καὶ ἄμουσος,
στέφω ἐγκωμίων τοῖς ἄνθεσι.

Οἰκῆτορ Λαύρας θείου Σάββα Ὅσιε,
πνευματοφόρε Κοσμᾶ,
ταπεινοφρσύνῃ,
νυχθημέροις στάσεσιν,
ὑπακοῇ, στερήσεσιν,
ἀγρυπνίᾳ, νηστείᾳ
καὶ προσευχῇ χάριν εἵλκυσας
ἐπὶ σὲ πλουσίως τοῦ Πνεύματος.

Σοφίας τῆς ἐνθέου ἐγκαλλώπισμα,
ὁ τὴν παιδείαν λαβὼν
πᾶσαν τῶν ἀνθρώπων
σοφολογογιώτατος,
Κοσμᾶ τρισμάκαρ, πέφηνας
θείου Πνεύματος σθένει,
ἀσόφους πάντας σοφίζοντος,
θησαυρὲ Χριστοῦ θείας πίστεως.

**Θεοτοκίον.**

Μεγίστων δωρημάτων κατηξίωσαι,
Θεογεννῆτορ σεμνή,
Κεχαριτωμένη,
ἡ ἀεὶ πρεσβεύουσα
τῷ σῷ Υἱῷ καὶ Κτίσαντι
ὑπὲρ πάντων προσφύγων
τῆς σῆς θερμῆς ἀντιλήψεως
καὶ παραμυθίας ἐν θλίψεσι.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἀσκητῶν κοσμιότης,
Μαϊουμᾶ πρόεδρε,
σέμνωμα Ὁσίων πατέρων,
εὖχος θεόσδοτον
τῇ Ἐκκλησίᾳ Χριστοῦ,
Κοσμᾶ, σεπτὲ ὑμνογράφε,

χῦμα ἐξεχύθη σοι
χάρις τοῦ Πνεύματος.

Νῦν τιμῶντές σε στῦλον
ὦ τοῦ Χριστοῦ πίστεως
ἀῤῥαγῆ, Κοσμᾶ θεηγόρε,
Λαύρας θησαύρισμα
Ὁσίου Σάββα τοὺς σοὺς
ὑμνολογοῦμεν καμάτους
ἱερᾶς ἀσκήσεως
πρὸς ὁλοκλήρωσιν.

Ὑμνογράφον ὡς θεῖον
καὶ ποιητὴν πάντερπνον
σὲ ἀνευφημοῦμεν βοῶντες·
Χαῖρε, ὁμόζηλε
Δαμασκηνοῦ τοῦ σεπτοῦ,
Κοσμᾶ, θετὸς οὗ ὑπῆρξες
ἀδελφός, σεβάσμιε
πάτερ καὶ Δέσποτα.

**Θεοτοκίον.**

Μεγαλύνοντες ὕμνοις,
Μῆτερ Θεοῦ ἄχραντε,
σοῦ τῶν θαυμασίων τὸ πλῆθος
ἐκδυσωποῦμέν σε·
Μὴ διαλίπῃς ἡμᾶς
ἐξ ὕψους δόξης σου θείας
σκέπουσα καὶ χάριν σου
πᾶσι παρέχουσα.

**Κάθισμα. Ἦχος πλ΄ β. Αἱ Ἀγγελικαί.**

Θεῖε ψαλμῳδὲ
τοῦ Χριστοῦ τῆς Ἐκκλησίας,
ἔνθεε Κοσμᾶ,
Λαύρας Σάββα τοῦ Ὁσίου
θεοειδὲς οἰκῆτορ,
μελιχροῖς σου ποιήμασιν
ὁ καταγλαΐσας Ἐκκλησίαν
καὶ ποιμαντικῇ σου ἐπιστήμῃ

Μαϊουμᾶ ποίμνιον
ἰθύνας πρὸς οὐρανούς,
ἀληθῶς δεδόξασαι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τήρει βελεμνῶν
ἀσινεῖς τοὺς σοὺς οἰκέτας,
Μῆτερ τοῦ Θεοῦ,
τοῦ ἐχθροῦ τοῦ μισοκάλου
καὶ τῆς αὐτοῦ μανίας
καὶ κακίας ἀπήμονας,
πάντας τοὺς λαμπρῶς σε μελῳδοῦντας
καὶ μελισταγῶς σε ἀνυμνοῦντας
ὡς πρὸς Θεὸν πρέσβειραν
Υἱόν σου μονογενῆ
ἀληθῶς τὸν εὔσπλαγχνον.

**Ὠδὴ δ΄. Σύ μου ἰσχύς.**

Ναὲ λαμπρὲ
χρηστοηθείας καὶ νήψεως,
σὴν καρδίαν
θεῖον οἰκητήριον
τῶν ἀρετῶν ἀνέδειξας
καὶ τὸν νοῦν σου σοφίας
ἐνθέου ταμιευτήριον,
θεαυγὲς Κοσμᾶ, ἀξιάγαστε.

Ὁ τῶν πιστῶν,
Κοσμᾶ θεόσοφε, σύλλογος
μεγαλύνει
ἀγωγήν σου πάνσεμνον
καὶ τρόπους ποιμασίας σου,
δι’ ἧς ἔλλογον ποίμνην
Μαϊουμᾶ καθωδήγησας
πρὸς νομὰς ἀφθίτου τερπνότητος.

Γέρας, Κοσμᾶ,
περικλεὲς θείας πίστεως,
ἐξ εὐσήμου
καὶ εὐάνδρου πόλεως

Δαμασκηνῶν ὁρμώμενος
σὺν θετῷ ἀδελφῷ σου,
τῷ Ἰωάννῃ, ἡγίασας
Λαύραν θείου Σάββα ἀσκήσει σου.

**Θεοτοκίον.**

Ῥῦσαι ἡμᾶς
τῆς ἐπηρείας τοῦ ὄφεως
καὶ μανίας
τῆς αὐτοῦ, Μητρόθεε,
ἡγιασμένον σκήνωμα
τοῦ Παντάνακτος Λόγου,
λιταῖς Κοσμᾶ τοῦ θεόφρονος,
σοῦ τὰ μεγαλεῖα ὑμνήσαντος.

**ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Ἀσκητῶν κοσμιότης
Λαύρας θείου Σάββα, Κοσμᾶ μακάριε,
ὁ ἑλκύσας χάριν
ἐπὶ σὲ ἀφθόνως τοῦ Πνεύματος
ἔλαμψας ἐν κόσμῳ
ὡς ποιητὴς πνευματοφόρος
καὶ ᾀσμάτων συνθέτης θεόπνευστος.

Φωτισμὸν οὐρανόθεν
εἴληφας ἀφθόνως, Κοσμᾶ θειότατε,
καὶ τῇ φωταυγείᾳ
τοῦ Ἁγίου Πνεύματος πέφηνας
σέλας φωτοφόρον
διαγωγῆς χριστομιμήτου
καὶ σοφίας ἐνθέου καὶ νήψεως.

Ὁ τῶν ὅλων Δεσπότης
ἀστραπαῖς αὐγάσας σὸν νοῦν τοῦ Πνεύματος
κατηξίωσαί σε
ὑψηλῆς θωρίας καὶ γνώσεως
ἔδειξεν ἀῤῥήτου
Κοσμᾶ, σὲ ἄσυλον ταμεῖον
καὶ σοφίας χειμάῤῥουν πολύῤῥυτον.

**Θεοτοκίον.**

Νικητὰς σοὺς οἰκέτας
δεῖξον ἐν ταῖς μάχαις κατὰ τοῦ δαίμονος,
Κεχαριτωμένη
Θεοτόκε, λιταῖς ἀσιγήτοις σου
πρὸς τὸν Ζωοδότην,
τὸν θριαμβεύσαντα τὸν πλάνον
δι' Αὐτοῦ τῆς λαμπρᾶς ἀναστάσεως.

**Ὠδὴ στ´. Τὴν δέησιν.**

Ὑμνοῦμέν σε τὸν καθυποτάξαντα
ἑαυτὸν τῷ προεστῶτι τῆς Λαύρας
Ὁσίου Σάββα, ὑπήκοε πᾶσι
τοῖς τοῦ Χριστοῦ τοῦ Θεοῦ ἐπιτάγμασι,
Κοσμᾶ σεπτέ, Μαϊουμᾶ,
Ἱεράρχα καὶ Πρόεδρε πάνσοφε.

Μακάριος εἶ, Κοσμᾶ ἀοίδιμε,
ποταμὲ θεολογίας καὶ ῥεῖθρον,
Κοσμᾶ, δογμάτων ὀρθῶν, ὁ ἀρδεύων
τοῖς νάμασί σου τὸ ἔλλογον πλήρωμα
τῆς Ἐκκλησίας τοῦ Θεοῦ,
Οὗ τὴν θείαν ἐξύμνησας εὔκλειαν.

Νῦν νέκρωσιν τῆς σαρκός σου μέλπομεν
ἐν τῇ Λαύρᾳ θείου Σάββα, ἐν ᾗπερ
ἐπολιτεύσω εὐχαῖς καὶ νηστείαις
καθάπερ Ἄγγελος, πάτερ θειότατε,
Κοσμᾶ, ὁ νοῦν σου ἀληθῶς
ὁλικῶς ἀνατείνας πρὸς Κύριον.

**Θεοτοκίον.**

Ὡς ἄγκυραν σὲ βεβαίαν ἔχομεν
οἱ ἐν βίῳ θαλαττεύοντες, Μῆτερ,
καὶ ὡς λιμένα οἱ ἐν τρικυμίαις
καταποντούμενοι, Θεογεννήτρια,
τῶν καθ' ἑκάστην μεριμνῶν,
προστασία πιστῶν ἀκαταίσχυντε.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἀσματογράφον Ἐκκλησίας τὸν θεόπνευστον,
ὡς Θείου Πνεύματος ψαλτήριον ἁρμόνιον,
ἀκοὰς τὸν καθηδύνοντα εὐσεβούντων,
ποιητὴν οὐρανοβάμονα τιμήσωμεν,
ἱερὸν Κοσμᾶν, Ὁσίων ἐγκαλλώπισμα,
πόθῳ κράζοντες· Χαίροις, σάλπιγξ τῆς Χάριτος.

**Ὁ Οἶκος.**

Ἄγγελος καθωράθης
θεωρὸς ἀποῤῥήτων,
Κοσμᾶ, καὶ ὑμνῳδὸς μυστηρίων
σωτηρίας τοῦ γένους βροτῶν,
Ἁγιοπολῖτα θαυμαστέ, σκήνωμα
τοῦ Παρακλήτου Πνεύματος·
διό σοι ἐν χαρᾷ βοῶμεν·

Χαῖρε, ἡ σάλπιγξ τῆς εὐσεβείας·
χαῖρε, ὁ τέττιξ Θεοῦ σοφίας.

Χαῖρε, Παρακλήτου ψαλτήριον εὔηχον·
χαῖρε, τοῦ Ὑψίστου Θεοῦ στόμα ἔμμουσον.

Χαῖρε, λύρα παναρμόνιος ἐνσαρκώσεως Θεοῦ·
χαῖρε, αὔρα ζωοπάροχος εὐσεβόφρονος λαοῦ.

Χαῖρε, ὁ ἀνακρούων σωτηρίας τὴν ἅρπαν·
χαῖρε, ὁ μεγαλύνων Θεανθρώπου τὴν δόξαν.

Χαῖρε, οἰκήτωρ Μονῆς Σάββα ἔμφρονος·
χαῖρε, κοσμήτωρ ποιμένων θεόσοφος.

Χαῖρε, ᾀσμάτων γραφὶς μελιῤῥύτων·
χαῖρε, ἀγώνων κρηπὶς θεαρέστων·

Χαίροις, Σάλπιγξ τῆς Χάριτος.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΔ΄ Ὀκτωβρίου. Εἶτα λέγομεν·**
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ὁσίου καὶ πνευματοφόρου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ποιητοῦ, Ἐπισκόπου Μαϊουμᾶ.

**Στίχοι.**

Ἀηδὼν Ἐκκλησίας, Κοσμᾶ, ᾠδαῖς σου
ὦτα ἡδύνεις καὶ ψυχὰς εὐσεβούντων.

**Συναξάριον.**

Ὁ Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Κοσμᾶς ὁ ποιητής, ὁ καὶ Ἁγιοπολίτης ὀνομαζόμενος, ἦν ἐκ τῶν κορυφαίων ὑμνογράφων τῆς καθ' ἡμᾶς Ἐκκλησίας. Υἱοθετηθεὶς οὗτος ὑπὸ τοῦ πατρὸς τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ, Σεργίου Μανσούρ, μετὰ τοῦ υἱοῦ αὐτοῦ καλῶς ἐξεπαιδεύθη ὑπὸ Κοσμᾶ, σοφοῦ τινος διδασκάλου. Αὐτὸς ἠκολούθησε τῷ θετῷ αὐτοῦ ἀδελφῷ εἰς Ἱεροσόλυμα καὶ μετ' αὐτοῦ ἐγκατεβίωσεν εἰς τὴν Λαύραν τοῦ Ὁσίου Σάββα, ἔνθα ἐπεδόθη εἰς τὴν ποίησιν ἀναδειχθεὶς εἷς τῶν ἐξοχοτέρων καὶ διασημοτέρων ὑμνογράφων τῆς Ἐκκλησίας. Ἐν τῇ μοναχικῇ πολιτείᾳ διαπρέπων ἐχειροτονήθη Ἐπίσκοπος πόλεως Μαϊουμᾶ, τῆς παρὰ τὴν Γάζαν, ἐν ᾗ καὶ θεαρέστως ἐποίμανε τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον. Ἐν γήρᾳ πίονι ἐκοιμήθη ἐν εἰρήνῃ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.**

Ἄδεις ἑκάστοτε Κυρίῳ
τῷ Θεῷ ᾆσμα καινόν, Κοσμᾶ θεόφρον,
ὥσπερ ἄλλος Δαβίδ,
ἐν μέσῳ Ἐκκλησίας
ὡς γέγραπται, θεσπέσιε
καὶ σεπτὲ ᾀσματογράφε.

Γῆθεν μετάγεις πρὸς σκηνώσεις
οὐρανῶν διὰ τῶν σῶν παντέρπνων ὕμνων
εὐσεβούντων, Κοσμᾶ
χορούς, καὶ τῶν ᾀσμάτων
τῶν ἄγαν μελιῤῥύτων σου,
ὑμνογράφε θεοφόρε.

Ἴθυνας πόδας σου τοὺς θείους
σὺν θετῷ σου ἀδελφῷ, τῷ Ἰωάννῃ,
θεοφόρε Κοσμᾶ,
πρὸς Λαύραν θείου Σάββα,
ἐν ᾗ καλῶς διήνυσας
τοῦ παρόντος βίου τρίβον.

**Θεοτοκίον.**

Ὄμβρισον πᾶσι, Θεοτόκε,
ὑετὸν σῆς ἀνυστάκτου προστασίας
καὶ θερμῆς ἀρωγῆς
τοῖς σὲ ὑμνολογοῦσι
καὶ ἀνυμνοῦσι σκάμματα
τοῦ Κοσμᾶ τοῦ ὑμνογράφου.

**Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.**

Ποιημάτων σεπτῶν τὸν συγγραφέα,
θεοφόρον Κοσμᾶν,
Μαϊουμᾶ ποιμένα
τῇ ἐνεργείᾳ Παρακλήτου Πνεύματος
μέλψαντα τὴν δόξαν
Λόγου τοῦ Ὑψίστου
τιμήσωμεν ἐκθύμως.

Οὐρανίου εὐκλείας κληρονόμον,
ὑμνογράφον Κοσμᾶν,
ἐν πάσει παιδευθέντα
τῇ γνώσει καὶ σοφίας πέλαγος
ἀχανὲς ὀφθέντα
στέψωμεν ᾀσμάτων
τοῖς μυροβόλοις ἴοις.

Λαμπηδόσι, Κοσμᾶ, τῶν σῶν ᾀσμάτων
καὶ σῶν ὕμνων αὐγαῖς
κατηύγασας τὸν κόσμον,
δοξολογοῦντα πάντοτε τὸν Ὕψιστον,
τὸν φωτίσαντά σε
καὶ φανὸν σοφίας
τὸν καταδείξαντά σε.

**Θεοτοκίον.**

Ἴθυνόν με, Παρθένε Θεοτόκε,
πρὸς ἐπάλξεις λαμπὰς
τῶν οὐρανῶν καὶ δόμους
τοὺς ὑπερφώτους ἱεραῖς ἐντεύξεσι
τοῦ Ἀρχιερέως

ἀσκητοῦ τοῦ θείου,
Κοσμᾶ τοῦ ὑμνογράφου.

**Ὠδὴ θ´. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.**

Ταμεῖον Παρακλήτου τῶν δωρεῶν
καὶ ἀσάλευτος πύργος τῆς πίστεως,
σεπτὲ Κοσμᾶ,
ὤφθης, ὑμνογράφε θεοειδές,
πυξίον θείας γνώσεως
καὶ δογμάτων στόμα τῶν ἱερῶν·
διό σε ἀνυμνοῦμεν
ὡς πέλαγος σοφίας
καὶ ἁρμόνιον χάριτος ὄργανον.

Ἡ πάνσεπτός σου μνήμη, πάτερ Κοσμᾶ,
συγκαλεῖ τοὺς πιστοὺς πρὸς ἐξύμνησιν
τῶν ἀρετῶν,
συγγραφῆς ᾀσμάτων σου τῶν τερπνῶν
καὶ ποιμασίας τρόπων σου,
μελῳδὲ γλυκύτατε καὶ αὐλὲ
ποιμενικέ, γλυκαίνων
τὰς ἀκοὰς ἁπάντων
εὐσεβῶν θεοπνεύστοις σου ᾄσμασι.

Νῦν μνήμην σου τελοῦντες, σοφὲ Κοσμᾶ,
τὴν λαμπρὰν καὶ φωσφόρον ἐν ᾄσμασι
πανευλαβῶς
σὲ ἀνευφημοῦμεν ὡς ποιητὴν
θειότατον καὶ ὅσιον
ἀσκητὴν τὸν χάριτι τοῦ Θεοῦ
ὀφθέντα Ἱεράρχην
Μαϊουμᾶ θεόπνουν
καὶ φωστῆρα πατέρων φανότατον.

**Θεοτοκίον.**

Χαρᾶς αἰτία δήμου Χριστιανῶν,
Θεοτόκε, θερμαῖς παρακλήσεσι
τοῦ θαυμαστοῦ
ἐν τοῖς ἐπισκόποις καὶ ἀσκηταῖς,
Κοσμᾶ τοῦ οὐρανόφρονος,

σὸν Υἱὸν ἱλέωσαι καὶ Θεὸν
ἡμῖν τοῖς σὲ τιμῶσι
καὶ πίστει ἀνυμνοῦσιν
ὡς σωτηρίας κόσμου πρόξενον.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Τὸ Πνεῦμα τὸ Πανάγιον
σκηνῶσαν ἐν καρδίᾳ σου
ἔδειξέ σε γραμματέα,
πάτερ Κοσμᾶ, ὀξυγράφον
καλλιγραφοῦντα δόγματα
Ὀρθοδοξίας, πάνσοφε
Μαϊουμᾶ Ἐπίσκοπε,
ὁ Ἐκκλησίαν φαιδρύνας
παναρμονίοις σου ὕμνοις.

**Θεοτοκίον.**

Τὰ τάγματα ἐξέστησαν
Ἀγγέλων τῇ κυήσει σου
καὶ τῶν ἀνθρώπων καρδίαι
ἔφριξαν Τόκῳ σου θείῳ·
διόπερ πίστει σέβομεν
σὲ πάντες, Μητροπάρθενε,
εὐλογημένη Δέσποινα,
παντὸς τοῦ γένους αἰτία
τῆς σωτηρίας μερόπων.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Τί ὑμᾶς καλέσωμεν, Ἅγιοι;**

Τί σε, μελῳδέ, ὀνομάσωμεν;
Ἀσκητῶν Ὁσίων Λαύρας
θείου Σάββα κορυφήν,
μαργαρίτην ἰσαγγέλου
ἀγωγῆς πολυτελῆ,
ποιμένα
τοῦ Μαϊουμᾶ θεόσδοτον,
πατέρων
θεοφόρων ἀγαλλίαμα,
τῆς Ἐκκλησίας κοσμήτορα,

Κοσμᾶ, καὶ θεῖον ὡράϊσμα;
Ἱκέτευε
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε, ὑμνῳδέ, ὀνομάσωμεν;
Θείου Πνεύματος κιθάραν,
παναρμόνιον αὐλὸν
τῆς ἐν κόσμῳ παρουσίας
τοῦ Παντάνακτος Θεοῦ,
κινύραν
Θεομήτορος καλλίχορδον
ἀπείρων
μεγαλείων, πάτερ Ὅσιε,
Κοσμᾶ, ψαλτήριον εὔηχον
πιστῶν ἡδῦνον συστήματα;
Ἱκέτευε
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν, Κοσμᾶ, ὀνομάσωμεν;
Ἀδελφὸν θετὸν τοῦ πάνυ
καὶ σεπτοῦ Δαμασκηνοῦ,
ὁ τὴν θύραθεν παιδείαν
καὶ σοφίαν εἰληφὼς
ἀφθόνως
ἐκ Κοσμᾶ τοῦ ὁμωνύμου σου
πανσόφου
διδασκάλου, πνευματέμφορε,
καὶ ἐποφθεὶς ἀχανέστατον
σοφίας Κτίσαντος πέλαγος;
Ἱκέτευε
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσωμεν, Ἅγιε;
Στερεώματος ἀστέρα
παμφαῆ τοῦ νοητοῦ,
ἐλαμφθέντα τῆς Τριάδος
αἴγλη τῆς τρισοφαοῦς
καὶ πάντας
καταυγάσαντα πυρσεύμασιν
ᾀσμάτων
μελιῤῥύτων καὶ Κανόνων σου
καλλιεπῶν, πάτερ Ὅσιε,

Κοσμᾶ, τοῦ Πνεύματος σκήνωμα;
Ἱκέτευε
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α΄.**

**Τ**ὸν θεωρὸν τοῦ Ἀθεωρήτου
καὶ λειτουργὸν τοῦ ἐν πόλῳ θυσιαστηρίου,
Κοσμᾶν, τὸν Ἁγιοπολίτην μελῳδόν, εὐφημήσωμεν
ὡς σάλπιγγα καλλικέλαδον τοῦ Παρακλήτου Πνεύματος
οὕτω λέγοντες·
Πολύῤῥυτε ποταμὲ τῆς χάριτος,
ὁ τοῖς νάμασι σῶν ᾀσμάτων πιαίνων χοϊκῶν τὰς καρδίας
πρὸς ἐκβλάστησιν πόθου ζωῆς τῆς σὺν Χριστῷ αἰωνιζούσης,
μὴ παύσῃ Αὐτοῦ δεόμενος
ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

****************************************************************************

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱεράρχου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.**

**Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Ἰωάννου, τοῦ Χρυσοστόμου. (Ζήτει τῇ ΙΓ´ Νοεμβρίου)**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

Χαίροις, ὁ ποιήμασι καὶ ᾠδαῖς
καὶ ψαλμοῖς κοσμήσας
Ἐκκλησίαν τὴν τοῦ Χριστοῦ,
χαίροις, Ἱεράρχα
Μαϊουμᾶ τρισμάκαρ,
Κοσμᾶ, χοροῦ Ὁσίων
τίμιον κόσμημα.

**Δίστιχον.**

**Κοσμᾶν πάντερπνον ὕμνησεν ὑμνογράφον
Μαξίμου ὀτρύνσει Χαραλάμπης πόθῳ.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι  Δ Ο Ξ Α**

**Τ ΩΙ  Μ Ο Ν ΩΙ  Α Λ Η Θ Ι Ν ΩΙ**

**Θ Ε ΩΙ  Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ. Α 508 / 16-9-09**